*Ἁγία Τριάς*

Ὑμνήσωμεν πάντες θεοπρεπῶς, ᾄσμασιν ἐνθέοις, τὸν Πατέρα καὶ τὸν Υἱόν, καὶ Πνεῦμα τὸ θεῖον, τρισυπόστατον κράτος, τὴν μίαν Βασιλείαν, καὶ Κυριότητα.

*Τῌ Α΄ ΙΑΝΟΥΑΡΙΟΥ – Ἅγιος Βασίλειος*

Τὸν οὐρανοφάντορα τοῦ Χριστοῦ, μύστην τοῦ Δεσπότου, τὸν φωστῆρα τὸν φαεινόν, τὸν ἐκ Καισαρείας, καὶ Καππαδόκων χώρας, Βασίλειον τὸν μέγαν πάντες τιμήσωμεν.

*Τῌ Ζ΄ ΙΑΝΟΥΑΡΙΟΥ – Ἰωάννης ὁ Βαπτιστής*

Χειρί σου βαπτίσας, ὦ Βαπτιστά, τὸν διὰ θαλάσσης, ἀγαγόντα τὸν Ἰσραήλ, Προφητῶν ἁπάντων, ὑπέρτερος ἐδείχθης· διὸ ἀνευφημοῦμεν τὴν θείαν χάριν σου.

*Τῌ Ι΄ ΙΑΝΟΥΑΡΙΟΥ – Ἅγ. Γρηγόριος Νύσσης*

Χαίροις τῆς σοφίας ὁ θησαυρός, καὶ τῆς Ἐκκλησίας θεοῤῥήμων ὑφηγητής· χαίροις θεοφθόγγων, δογμάτων ἡ κιθάρα, Γρηγόριε παμμάκαρ, Νύσσης ὁ πρόεδρος.

*Τῌ ΙΖ΄ ΙΑΝΟΥΑΡΙΟΥ – Ἅγιος Ἀντώνιος*

Χαίροις τῶν Ὁσίων ὁ ἀρχηγός, καὶ τῆς ἰσαγγέλου πολιτείας καθηγητής· χαίροις τῆς ἐρήμου, στυλοειδὴς νεφέλη, Ἀντώνιε παμμάκαρ, Πατέρων καύχημα.

*Τῌ ΚΕ΄ ΙΑΝΟΥΑΡΙΟΥ – Ἅγ. Γρηγόριος ὁ Θεολόγος*

Χαίροις ὁ οὐράνιος θεῖος νοῦς, στόμα τὸ πυρίπνουν, ὁ τῆς χάριτος ὀφθαλμός, σάλπιγξ εὐσεβείας, πηγὴ θεολογίας, ὑπερκοσμίων μύστης, σοφὲ Γρηγόριε.

*Holy Trinity*

Come and let us all sing inspired songs, * solemnly extolling as is proper to the divine * Father, Son, and all-holy Spirit, one dominion, * one kingdom, one in essence, three in hypostases.

*January 1 – St. Basil*

Let us all now honor the God-inspired * revealer of heaven, and the mystic of Christ the Lord, * the shining luminary and son of Cappadocia, * and Caesarea's Bishop, Basil indeed the Great.

*January 7 – St. John the Baptist*

Holy John the Baptist, with your right hand * you baptized the Lord, who led His people across the Sea. * Therefore you are greater than all the other Prophets, * and we extol the grace that Christ God has given you.

*January 10 – St. Gregory of Nyssa*

Father, we salute you and sing, Rejoice! * Treasure house of wisdom, God-inspired teacher of the Church, * instrument that plays the divine and godly doctrines, * O Gregory of Nyssa, all-blessed Saint of God!

*January 17 – St. Anthony*

We salute you, Anthony, O rejoice! * Pioneer and teacher of angelic ascetic life, * you were in the desert of Egypt like a pillar * of cloud to guide monastic fathers, who boast in you.

*January 25 – St. Gregory the Theologian*

Rejoice, O divine and celestial mind! * Rejoice, fire-breathing mouth! Rejoice, watchful eye of grace! * Theology's wellspring, and Orthodoxy's trumpet, * and mystic sublime truth, wise father Gregory!

*ΤΗ Λ΄ ΙΑΝΟΥΑΡΙΟΥ – Τρεῖς Ἱεράρχαι*

Ῥήτορες σοφίας θεοειδεῖς, στῦλοι Ἐκκλησίας, οὐρανίων μυσταγωγοί, Βασίλειε πάτερ, Γρηγόριε θεόφρον, καὶ θεῖε Ἰωάννη, κόσμῳ ἐδείχθητε.

*January 30 – Three Hierarchs*

Holy father Basil, and most divine * John, and godly-minded father Gregory, in the world * you were godly speakers of wisdom and the teachers * of mysteries of heaven, and pillars of the Church.

*ΤΗ Β΄ ΦΕΒΡΟΥΑΡΙΟΥ – Ὑπαπαντή*

Σήμερον ἡ πάναγνος Μαριάμ, τῷ ναῷ προσάγει, ὥσπερ βρέφος τὸν Ποιητήν, Ὃν ἐν ταῖς ἀγκάλαις, ὁ Πρέσβυς δεδεγμένος, Θεὸν αὐτὸν κηρύττει κἂν σάρκα εἴληφε.

*February 2 – Presentation of Christ*

Today, all-immaculate Mary brings * to the holy Temple as a babe the Maker of all. * Symeon receives Him in his aged embraces; * and he declares Him God, who took flesh to save the world.

*ΤΗ Ϛ΄ ΦΕΒΡΟΥΑΡΙΟΥ – Ἅγιος Φώτιος*

Χαίροις ὁ λαμπρότατος τῆς Χριστοῦ, Ἐκκλησίας μύστης, Ὀρθοδόξων προασπιστής, κακοδόξων μάστιξ, Ἱεραρχίας κλέος, ὁ μέγας θεοφάντωρ, Φώτιε Ἅγιε.

*February 6 – St. Photios*

Most luminous mystic of the Church of Christ, * champion and defender * of the Orthodox everywhere, * scourge of the impious, the glory of the hierarchs, * great priest and theologian, * St. Photios, rejoice.

*– Ἅγ. Βαρσανούφιος καὶ Ἰωάννης*

Χαίροις Βαρσανούφιε ἱερέ, ζωῆς τῆς ὁσίας, θεοφόρε ὑφηγητά· χαίροις Ἰωάννη, τῆς χάριτος ταμιεῖον, οἱ ὁδηγοὶ οἱ θεῖοι, ἡμῶν καὶ ἔφοροι.

*February 6 – Sts. Barsanouphios and John*

Rejoice, Barsanouphios, sacred man * and God-bearing teacher * of devout and monastic life. * Treasury of grace, holy John, we all salute you. * Our two divine directors * and patron saints, rejoice!

*ΤΗ Η΄ ΦΕΒΡΟΥΑΡΙΟΥ – Ἅγ. Θεόδωρος Στρατηλάτης*

Χαίροις τῶν Μαρτύρων ἡ καλλονή, καὶ τῆς Ἐκκλησίας, ἀπροσμάχητος βοηθός, χαίροις δωρημάτων, θησαύρισμα τῶν θείων, Θεόδωρε τρισμάκαρ, ἡμῶν ἀντίληψις.

*February 8 – St. Theodore the General*

The dignified beauty of martyr saints, * invincible champion defending the Church of Christ, * rejoice, O thrice-blessed St. Theodore the General, * our helper and the namesake and treasure of gifts of God.

*ΤΗ Ι΄ ΦΕΒΡΟΥΑΡΙΟΥ – Ἅγιος Χαράλαμπος*

Τὸν ἐν ἀθλοφόροις ἱερουργόν, καὶ ἐν ἱερεῦσιν ἱερώτατον ἀθλητήν, τὸν θαυμάτων ῥεῖθρα, πηγάζοντα ἐν κόσμῳ, τὸν μέγαν Χαραλάμπην ὕμνοις τιμήσωμεν.

*February 10 – St. Haralambos*

Let us sing in honor of that sublime * priest among the martyrs and that martyr among the priests. * In the world he pours out his miracles like rivers. * Therefore we magnify him, great St. Haralambos.

*ΤΗ ΙΘ΄ ΦΕΒΡΟΥΑΡΙΟΥ – Ἁγία Φιλοθέη*

Τὴν Ὁσιομάρτυρα τοῦ Χριστοῦ, τὴν ἐν ταῖς Ἀθήναις διαλάμψασαν φαεινῶς, τὴν καὶ μαρτυρίου στεφάνῳ κοσμουμένην, τὴν θείαν Φιλοθέην πάντες τιμήσωμεν.

*February 19 – St. Philothea*

Let us praise the nun-martyr of the Lord. * Philothea famously competed in Athens, Greece. * She is decorated in heaven with the medals * for martyrdom and virtue. Therefore we honor her.

*ΤΗ ΙΖ΄ ΜΑΡΤΙΟΥ – Ἅγιος Ἀλέξιος*

Ἐπιθυμιῶν τῶν πνευματικῶν, ἀνὴρ χρηματίσας, ἐξενώθης τῶν γεηρῶν, καὶ σεμνῶς βιώσας, Θεοῦ ἄνθρωπος ὤφθης, καὶ κλήσει τε καὶ πράξει, μάκαρ Ἀλέξιε.

*March 17 – St. Alexios*

O blessed Alexios, as a man * of spiritual desires and a stranger to things mundane, * you lived in the world as one holy, chaste, and modest, * and thus in name and action, you were a man God.

*ΤΗ ΚΕ΄ ΜΑΡΤΙΟΥ – Εὐαγγελισμός*

Νῦν εὐαγγελίζεται Γαβριήλ, τὸ χαῖρε κραυγάζων, μετὰ δέους τῇ Μαριάμ. Ὢ τοῦ ξένου τρόπου! ἐν μήτρᾳ γὰρ ἀχράντῳ, συνείληπται ὁ Πλάστης σῴζων ὃν ἔπλασε.

*March 25 – Annunciation*

Gabriel the Archangel now with awe * announces to Mary the good tidings and says: Rejoice! * The Maker of all is conceived within a pure womb, * to save what He created. Marvelous miracle!

*ΤΗ Α΄ ΑΠΡΙΛΙΟΥ – Ὁσ. Μαρία Αἰγυπτία*

Γύμνωσιν ἐνέγκασα καρτερῶς, αἰσχύνῃ ἐνδύεις, τὸν γυμνώσαντά σε Χριστοῦ· ὅθεν ἀφθαρσίας, στολαῖς κατηγλαΐσθης, Μαρία πανοσία, Αἰγύπτου βλάστημα.

*April 1 – St. Mary of Egypt*

Enduring your nakedness with resolve, * you clothed in great shame the one who stripped you of Christ before. * Now, O holy Mary of Egypt, you are wearing * the glorious apparel of immortality.

*ΤΗ ΚΓ΄ ΑΠΡΙΛΙΟΥ – Ἅγιος Γεώργιος*

Μέγας ἐν ἀθλήσει ἀναδειχθείς, ὡς τροπαιοφόρος, καὶ ἐν θαύμασιν εὐκλεής, μέγας ἀντιλήπτωρ, τῆς Ἐκκλησίας ὤφθης, Γεώργιε παμμάκαρ, Μαρύρων καύχημα.

*April 23 – St. George*

As a trophy-bearer you proved to be * a great man in contest, and in miracles most renowned. * O thrice-blessed George, you were manifestly known as * the Church's great protector, the martyrs' pride and joy.

*ΤΗ ΚΔ΄ ΑΠΡΙΛΙΟΥ – Ὁσ. Ἐλισάβετ*

Ὡς ἐπαγγελίας δῶρον σεμνόν, τῶν ἐπηγγελμένων, κατηξίωσαι ἀγαθῶν, βίῳ καταλλήλῳ, Ὁσία Ἐλισάβετ, ὧν καὶ ἡμᾶς λιταῖς σου, Μῆτερ ἀξίωσον.

*April 24 – St. Elizabeth*

Promised to the Lord as a pious gift, * through your pious lifestyle, O Elizabeth, you received * blessings that He promised, devout and holy Mother. * May we receive them also by your all-holy prayers.

*ΤΗ ΚΕ΄ ΑΠΡΙΛΙΟΥ – Ἅγιος Μᾶρκος*

Πέτρῳ τῷ θεόπτῃ μαθητευθείς, τῶν ὑπερκοσμίων, ἐχρημάτισας μυητής· ὅθεν τοῦ Σωτῆρος, ἡμῖν εὐηγγελίσω, ὦ Μᾶρκε θεηγόρε, τὴν συγκατάβασιν.

*April 25 – St. Mark*

You were a disciple of the divine * Peter, who had seen God, and who taught you supermundane * mysteries, O Mark, of the Savior's condescension. * You wrote your holy Gospel, preaching good news to us.

*ΤΗ Β΄ ΜΑΪΟΥ – Ἅγιος Ἀθανάσιος*

Τῆς Ὀρθοδοξίας σάλπιγξ χρυσῆ, ὤφθης Ἱεράρχα, ὁμοούσιον τῷ Πατρί, τὸν Υἱὸν κηρύττων, καὶ Πνεύματι Ἁγίῳ· διό σε Ἀθανάσιε μεγαλύνομεν.

*May 2 – St. Athanasius*

Orthodoxy's gold horn are you, O Saint. * You taught that the Son is consubstantial with the divine * Father and the Holy Spirit, O Athanasius. * We therefore magnify you, O holy Hierarch.

*ΤΗ Θ΄ ΜΑΪΟΥ – Ἅγιος Χριστοφόρος*

Μάρτυς ἀκατάπληκτος καὶ στερρός, πέλων τῇ ἰδέᾳ, Χριστοφόρε καὶ τῷ νοΐ, τῶν ἀντικειμένων, κατέπληξας τὰ στίφη, ἀθλήσας ὑπὲρ φύσιν πόθῳ τοῦ Κτίστου σου.

*May 9 – St. Christopher*

Holy Martyr Christopher, you were strong, * mighty, and undaunted, in appearance and in your mind. * With love for your Maker, competing beyond nature, * you terrified and struck down the hordes of enemies.

*ΤΗ ΚΑ΄ ΜΑΪΟΥ – Κωνσταντῖνος καὶ Ἑλένη*

Τοὺς τῆς εὐσεβείας θείους πυρσούς, καὶ τῶν Ἀποστόλων θιασώτας καὶ μιμητάς, σὺν τῷ Κωνσταντίνῳ, Ἑλένην τὴν ἁγίαν, ὡς βασιλέων δόξαν ἀνευφημήσωμεν.

*May 21 – Sts. Constantine and Helen*

Let us sing in praise of the royal Saints * Constantine and Helen, those divine torches of the Faith. * They were imitators and equals of Apostles, * the pride and joy of Christian rulers and emperors.

*ΤΗ ΚΘ΄ ΙΟΥΝΙΟΥ – Πέτρος καὶ Παῦλος*

Πέτρε θεῖον ἅρμα Χερουβικόν, οὐράνιε Παῦλε, ὄχημά τε Σεραφεικόν, ἡ πύρινος γλῶσσα, τοῦ θεανθρώπου Λόγου, πυρός με τῆς γεέννης ἀπολυτρώσασθε.

*June 29 – Sts. Peter and Paul*

Peter, the cherubic chariot of God, * and heavenly Paul, the seraphical vehicle, * the fiery tongue of the God-man Christ the Logos, * I pray you to deliver me from fire of hell.

*ΤΗ ΚΘ΄ ΙΟΥΝΙΟΥ – Ἀπόστολος Παῦλος*

Χαίροις Ἀποστόλων ἡ καλλονή, καὶ ἐθνῶν ὁ κῆρυξ, καὶ διδάσκαλος καὶ φωστήρ· χαίροις Ἐκκλησίας, ὑφηγητὴς ἁπάσης, καὶ μέγας λαμπαδοῦχος, Παῦλε Ἀπόστολε.

*June 29 – Apostle Paul*

We salute you, singing to you, Rejoice! * Preacher of the Gentiles, and their teacher and guiding light, * the inerrant guide of the Church of Christ forever, * the beauty of Apostles, great luminary Paul!

*ΤΗ Λ΄ ΙΟΥΝΙΟΥ – Ἅγιοι Ἀπόστολοι*

Πέτρον Παῦλον Μᾶρκον σὺν τῷ Λουκᾷ, Φίλιππον, Ἀνδρέαν, Ἰωάννην τε καὶ Θωμᾶν, Σίμωνα Ματθαῖον, καὶ τὸν Βαρθολομαῖον, σὺν θείῳ Ἰακώβῳ ὕμνοις τιμήσωμεν.

*June 30 – Holy Apostles*

Let us now extol the Apostles all: * Peter, Paul and Andrew, Mark and Matthew and Luke and John, * Philip, Thomas, James and Bartholomew and Simon * Together with the Twelve we extol the Seventy.

*ΤΗ Κ΄ ΙΟΥΛΙΟΥ – Προφήτης Ἠλίας*

Ζήλῳ οὐρανίῳ πυρποληθείς, φλέγεις τὴν ἀπάτην, ὡς πυρίπνους καὶ ζηλωτής· ὅθεν ἀνυψώθης ἐν ἅρματι πυρίνῳ, ὦ Ἠλιοὺ Προφῆτα, πρὸς βίον ἄφθαρτον.

*July 20 – Prophet Elias*

Being all afire with heavenly zeal, * you, the fire-breathing zealot, burned up pagan deceit. * Then a fiery chariot took you up, O Prophet * Elijah, to abide in life incorruptible.

*ΤΗ ΚΒ΄ ΙΟΥΛΙΟΥ – Μαρία Μαγδαληνή*

Τάφῳ προσελθοῦσα τῷ Ἰησοῦ, τοῦτον ἐθεάσω, ἀναστάντα ἐκ τῶν νεκρῶν· ὅθεν Ἀποστόλοις, Μαγδαληνὴ Μαρία, χαρᾶς εὐηγγελίσω τὰ εὐαγγέλια.

*July 22 – Mary Magdalene*

Holy Mary Magdalene, as you came * early in the morning to the sepulcher of the Lord, * you saw Him arisen. O Myrrh-bearer, He sent you * announcing the good tidings to His Apostles and friends.

*ΤΗ ΚΒ΄ ΙΟΥΛΙΟΥ – Ἁγία Μαρκέλλα*

Χαίροις νύμφη ἄσπιλε τοῦ Χριστοῦ, ἔνδοξε Μαρκέλλα, καλλιμάρτυς νοεφανής, βλάστημα τῆς Χίου καὶ δόξα καὶ προστάτις, πάντων παθῶν ἀπάλλαξον τοὺς τιμῶντάς σε.

*July 22 – St. Markella*

Rejoice, O inviolate bride of Christ, * glorious Markella, worthy Martyr who shone of late, * the offspring and glory and patroness of Chios, * relieve from every suffering all those who honor you.

*ΤΗ ΚΕ΄ ΙΟΥΛΙΟΥ – Ἁγία Ἄννα*

Χαίρουσα μετέστης πρὸς τὴν ζωήν, Ἄννα ὥσπερ μήτηρ, τῆς τεκούσης τὸν Ποιητήν. Ὅθεν τοὺς τιμῶντας, τὴν θείαν κοίμησίν σου, χαρᾶς τῆς ἀθανάτου μετόχους ποίησον.

*July 25 – Saint Anna*

Rejoicing you passed on to life on high, * Anna, as the mother of the one who gave birth to God. * We pray you to make us, who honor your dormition, * partakers of the immortal joy and eternal life.

*ΤΗ ΚϚ΄ ΙΟΥΛΙΟΥ – Ἁγ. Παρασκευή*

Χαίροις Ἐκκλησίας ἡ λαμπηδών, καὶ τῶν ἰαμάτων, πολυχεύμων ὄντως κρουνός· χαίροις προστασία, καὶ σκέπη οὐρανία, Παρασκευὴ θεόφρον, τῶν εὐφημούντων σε.

*July 26 – St. Paraskeve*

Godly-minded martyr Paraskeve, * as the Church's bright star, and a fountain of many cures, * heaven-sent protection and shelter of the faithful, * who honor and salute you, crying aloud, "Rejoice!"

*Τῌ ΚΖ΄ ΙΟΥΛΙΟΥ – Ἅγιος Παντελεήμων*

Ῥεῖθρα ἰαμάτων ὡς ἐκ πηγῆς, χάριτι θαυμάτων, βρύει χρῄζουσι δωρεάν, ὁ Παντελεήμων, ὁ πάνσοφος ἀκέστωρ· οἱ ῥώσεως διψῶντες δεῦτε ἀρύσασθε.

*July 27 – St. Panteleimon*

St. Panteleimon is like a spring * of free cures and healings that gush forth to all those in need. * This all-wise physician works wonders by divine grace. * Now all who thirst for good health, come to the well and drink.

*Τῌ Ϛ΄ ΑΥΓΟΥΣΤΟΥ – Μεταμόρφωσις*

Θέλων ἐπιδεῖξαι τοῖς Μαθηταῖς, δύναμιν ἐξ ὕψους καὶ σοφίαν παρὰ Πατρός, ἐν ὄρει ἀνῆλθες, Χριστὲ τῷ Θαβωρίῳ, καὶ λάμψας ὡς Δεσπότης τούτους ἐφώτισας.

*August 6 – Transfiguration*

Wishing to display power from on high * and the Father's wisdom to Your three holy and divine * Disciples, O Christ, You ascended Mount Tabor, * and shining as the Master, * there You illumined them.

*Τῌ Ι΄ ΑΥΓΟΥΣΤΟΥ – Ἅγιος Λαυρέντιος*

Χαίροις ὁ Διάκονος τοῦ Χριστοῦ, ὁ διακονήσας, ἐν τῇ χάριτι εὐσεβῶς· χαίροις ὁ τελέσας, διὰ πυρὸς ἀνδρείως, τὸν ἔνθεον ἀγῶνα, Μάρτυς Λαυρέντιε.

*August 10 – St. Lawrence*

We salute you, Deacon of Christ, Rejoice! * In the church you ministered with piety in His grace. * Rejoice, Martyr Lawrence, for bravely through the fire * you finished your inspired contest of martyrdom.

*Τῌ ΙΕ΄ ΑΥΓΟΥΣΤΟΥ – Κοίμησις τῆς Θεοτόκου*

Παρέστης Παρθένε ἐκ δεξιῶν, τοῦ Παμβασιλέως, ὡς Βασίλισσα τοῦ παντός, περιβεβλημένη, ἀθανασίας αἴγλην, ἀρθεῖσα μετὰ δόξης, πρὸς τὰ οὐράνια.

*August 15 – Assumption / Dormition*

Into heaven gloriously assumed, * you stood at the right hand of your Son, who is King of all, * decked in immortality as if gold apparel. * And now, O Virgin Mary, you are the Queen of all.

*Τῌ ΚΖ΄ ΑΥΓΟΥΣΤΟΥ – Ἅγιος Φανούριος*

Χαίροις ὦ Φανούριε ἀθλητά, ὁ πᾶσι παρέχων, τὰ αἰτήματα συμπαθῶς· χαίροις εὐσεβούντων, ὁ μέγας ἀντιλήπτωρ, καὶ πάσης Ἐκκλησίας, θεῖον ἀγλάϊσμα.

*August 27 – St. Phanourios*

We salute you, holy athlete of Christ: * Rejoice! For you sympathize with all, answering their prayers. * Rejoice! For you greatly assist all pious Christians. * Now all the Church rejoices in you, St. Phanourios.

*Τῌ Ϛ΄ ΣΕΠΤΕΜΒΡΙΟΥ – Ἀρχάγγελος Μιχαὴλ*

Κρήνην ἰαμάτων ἀνελλιπῆ, τὸν σὸν θεῖον Οἶκον, ἀναδείξας ἐν Κολοσσαῖς, ψυχῶν σωτηρίαν, καὶ τῶν σωμάτων ῥῶσιν, ἐν τούτῳ ἀπεργάζῃ, Μιχαὴλ ἔνδοξε.

*September 6 – Archangel Michael*

O heavenly Michael, in Colossae * you made your divine church an unending fountain of cures, * glorious Archangel, effecting the salvation * of souls and restoration of the bodily health.

*Τῌ Η´ ΣΕΠΤΕΜΒΡΙΟΥ – Γενέθλιον τῆς Θεοτόκου*

Σήμερον γεννᾶται περιφανῶς, ἐξ ἐπαγγελίας, ἡ Θεόνυμφος Μαριάμ, ἡ προορισθεῖσα, τῷ Λόγῳ πρὸ αἰώνων· ὑμνήσωμεν οὖν πάντες ταύτης τὴν γέννησιν.

*September 8 – Nativity of the Theotokos*

Born today is Mary the Bride of God, * clearly in accordance with the promise received from God. * She was foreordained for the Word before all ages. * Therefore let us all now hymn her Nativity.

*Τῌ ΙΔ´ ΣΕΠΤΕΜΒΡΙΟΥ – Τίμιος Σταυρός*

Σήμερον ἡ κτίσις πᾶσα Σωτήρ, πόθῳ ἀνυψοῦσα, τὸν πανάγιόν σου Σταυρόν, τὴν φωνήν σοι αἴρει, καὶ πίστει ἐκβοᾷ σοι· Δώρησαι τῷ λαῷ σου, Λόγε τὴν χάριν σου.

*September 14 – Holy Cross*

Savior, we believers throughout the world, * today, are exalting Your all-holy and precious Cross. * Lifting up our voices, we faithfully implore You, * O Logos, that You give us mercy and grace divine.

*Τῌ ΙΖ´ ΣΕΠΤΕΜΒΡΙΟΥ – Ἁγία Σοφία*

Μήτηρ ἐπὶ τέκνοις δαυιτικῶς, ὤφθης τερπομένη, ὦ Σοφία παενευκλεής· σὺ γὰρ τῇ Τριάδι, τὰς τρεῖς σου θυγατέρας, ὥσπερ γυνὴ ἀνδρεία ἄθλοις προσήγαγες.

*September 17 – St. Sophia*

Glorious Sophia, you are indeed * a mother who rejoices * in her children, as Scripture says. * O courageous woman, through martyrdom you offered * your three unblemished daughters unto the Trinity.

*Τῌ ΚϚ´ ΣΕΠΤΕΜΒΡΙΟΥ – Ἰωάννης ὁ Θεολόγος*

Ὡς ἠγαπημένος τοῦ Ἰησοῦ, τῆς θεολογίας, ἐμυήθης τὸν θησαυρόν· ὅθεν Ἰωάννη, Ἀπόστολον θεόπτην, καὶ μύστην τῶν ἀρρήτων σὲ μεγαλύνομεν.

*September 26 – St. John the Theologian*

Beloved Disciple of Jesus Christ, * the wealth of theology was opened to you, O John. * Now we magnify you, Evangelist, Apostle, * seer of God, and knower of divine mysteries.

*Τῌ Ϛ´ ΟΚΤΩΒΡΙΟΥ – Ἅγιος Θωμᾶς*

Τῇ χειρὶ ἀψάμενος τῆς πλευρᾶς, τοῦ βλύσαντος κόσμῳ, ἀθανάτου ζωῆς κρουνούς, ἐξ αὐτῆς ἐδέξω, δογμάτων θεῖα ῥεῖθρα, δι’ ὧν ψυχὰς ἀρδεύεις, Θωμᾶ Ἀπόστολε.

*October 6 – St. Thomas*

O Thomas, you handled the side of Him, * who poured out the streams of life immortal into the world. * From it you received divine rivers of His doctrines, * with which you irrigate souls, O Apostle of Christ.

*Τῌ ΙΗ´ ΟΚΤΩΒΡΙΟΥ – Ἅγιος Λουκᾶς*

Μακαρίζομέν σου τῆν δεξιάν, Λουκᾶ θεηγόρε, δι’ ἧς ἔχομεν οἱ πιστοί, τὰς τοῦ Θεοῦ Λόγου, διττὰς ἁγίας πλάκας, καὶ τὴν σεπτὴν Εἰκόνα τῆς Θεομήτορος.

*October 18 – St. Luke*

Blessed is your hand, O Apostle Luke, * by which we the faithful have the two tablets of your books * about God the Logos, inspired theologian, * and the all-holy icon of the Mother of God.

*ΤΗ͂ Κ΄ ΟΚΤΩΒΡΙΟΥ – Ἅγιος Γεράσιμος*

Τῆς Πελοποννήσου θεῖος βλαστός, καὶ Κεφαλληνίας ὁ ἀσύλητος θησαυρός, καὶ πάσης Ἑλλάδος, τὸ καύχημα τὸ μέγα, Γεράσιμε θεόφρον, σκέπε τοὺς δούλους σου.

*October 20 – St. Gerasimos*

Since you are the great boast of all of Greece * and the sacred offspring sprouting from the Peloponnese * and Kefallinia's unplunderable treasure, * grant shelter to your servants, O godly Gerasimos.

*ΤΗ͂ ΚΓ΄ ΟΚΤΩΒΡΙΟΥ – Ἰάκωβος Ἀδελφόθεος*

Κλήσει ἀδελφόθεος πεφηνώς, Ἰάκωβε μάκαρ, τῶν ἀρρήτων μυσταγωγός, ἐν Σιών ἐδείχθης, καὶ πάθει σου τιμίῳ, τὸ ζωηφόρον πάθος Χριστοῦ ἐδόξασας.

*October 23 – James, the Brother of the Lord*

You are called the brother of God the Lord. * First of all the bishops of Jerusalem, blessed James, * you taught mystic doctrines; and by your precious passion, * you glorified the life-giving Passion and death of the Christ.

*ΤΗ͂ ΚϚ΄ ΟΚΤΩΒΡΙΟΥ – Ἅγιος Δημήτριος*

Τὸν μέγαν ὁπλίτην καὶ ἀθλητήν, τὸν στεφανηφόρον καὶ ἐν Μάρτυσι θαυμαστόν, τὸν λόγχῃ τρωθέντα, πλευράν ὡς ὁ Δεσπότης, Δημήτριον τὸν θεῖον ὕμνοις τιμήσωμεν.

*October 26 – St. Demetrius*

Singing sacred hymns let us now extol * the soldier of Christ, the medaled athlete, who is renowned, * for his side was pierced by a spear like his Master, * and poured out fragrant myrrh: Great Martyr Demetrius.

*ΤΗ͂ ΚΗ΄ ΟΚΤΩΒΡΙΟΥ – Ἁγία Σκέπη*

Σκέπη Ὀρθοδόξων χριστιανῶν, ὑπάρχεις Παρθένε, πάντας σκέπουσα τοὺς πιστούς· διὸ τῇ σῇ Σκέπῃ, Ἑλλὰς πᾶσα προστρέχει, καὶ πίστει μεγαλύνει τὴν προστασίαν σου.

*October 28 – Holy Protection*

You protect the believers throughout the world. * Thus Orthodox Christians celebrate your protective veil. * Everywhere the faithful rely on your protection * and magnify you, Virgin, for your defense of them.

*ΤΗ͂ Α΄ ΝΟΕΜΒΡΙΟΥ – Ἅγιοι Ἀνάργυροι*

Οἷά περ θεράποντες ἰατροί, ψυχῶν καὶ σωμάτων, ἀσθενείας ὀδυνηράς, ἰάσασθε τάχος, ἀρρήτῳ ἐπισκέψει, ἡμῶν θαυματοβρῦται, σοφοί Ἀνάργυροι.

*November 1 – Holy Unmercenaries*

Wise Unmercenaries, we pray to you, * healers and physicians who dispense miracles and cures. * Visit us in spirit, O Saints, and quickly heal us * of physical and spiritual ailments afflicting us.

*ΤΗ͂ Η΄ ΝΟΕΜΒΡΙΟΥ – Ἀρχιστράτηγοι Μιχαὴλ καὶ Γαβριήλ*

Πρόκριτοι Δυνάμεων νοερῶν, Μιχαὴλ πρωτάρχα, καὶ λαμπρόμορφε Γαβριήλ, σὺν ταῖς οὐρανίαις, αἰτεῖτε στρατηγίαις, ἡμῖν καταπεμφθῆναι τὸ μέγα ἔλεος.

*November 8 – Archangels Michael and Gabriel*

Chief commander Michael and radiant * Gabriel, selected from the bodiless hosts on high, * join the other ranks of the heavenly armies, * and pray the Lord to send His great mercy unto us.

*Τῌ Θ´ ΝΟΕΜΒΡΙΟΥ – Ἅγιος Νεκτάριος*

Χάριτι θαυμάτων παρὰ Χριστοῦ, λαμπρῶς ἐδοξάσθης, μετὰ τέλος σου τὸ σεπτόν· ὅθεν τῶν λειψάνων, ἡ θήκη σου πηγάζει, ἰάματα ποικίλα Πάτερ τοῖς πάσχουσι.

*November 9 – St. Nektarios*

Since your holy death, you are glorified * splendidly by Christ God, through the miracles you perform * by the grace He gave to your relics, holy father * Nektarios. They pour out cures to the suffering.

*Τῌ ΙΓ´ ΝΟΕΜΒΡΙΟΥ – Ἰωάννης Χρυσόστομος*

Χαίροις ὁ χρυσόρρειθρος ποταμός, ὁ τὴν οἰκουμένην καταρδεύων νᾶμα χρυσοῦν· χαίροις ὁ τὴν γλῶτταν, χρυσοῦς καὶ τὴν καρδίαν, Χρυσόστομε τρισμάκαρ, Πατριαρχῶν ἡ κρηπίς.

*November 13 – St. John Chrysostom*

Rejoice, holy river with golden streams, * irrigating all the world with waters of golden words! * Father John, your heart, tongue, and mouth were truly golden. * Rejoice, blessed Chrysostom, foundation of Patriarchs!

*Τῌ ΙΔ´ ΝΟΕΜΒΡΙΟΥ – Ἅγιος Φίλιππος*

Φίλος καὶ Ἀπόστολος εὐκλεής, τοῦ μέχρι καὶ δούλου, κενωθέντος ἀναδειχθείς, Φίλιππε θεόπτα, ἐκήρυξας ἐν κόσμῳ, τὴν τούτου ὑπὲρ λόγον ἄρρητον κένωσιν.

*November 14 – St. Philip*

Glorious Apostle and famous friend * of the One who emptied himself, taking a servant's form, * in the world you preached His ineffable and saving * self-emptying, O Philip, seer of Christ our God.

*Τῌ ΙΔ´ ΝΟΕΜΒΡΙΟΥ – Ἅγ. Γρηγόριος Παλαμᾶς*

Οἱ τοῖς ἡδυπνόοις σου καὶ σοφοῖς, λόγοις ὁμιλοῦντες, θεοῤῥῆμον γνῶσιν Θεοῦ, καὶ σοφίαν πάντες, οὐράνιον μυοῦνται, Γρηγόριε θεόφρον, σὲ μεγαλύνομεν.

*November 14 – St. Gregory Palamas*

Godly-minded Gregory Palamas, * all who read your wise and fragrant writings are introduced * to knowledge of God and the wisdom of the heavens. * We therefore magnify you, O holy hierarch.

*Τῌ ΙϚ´ ΝΟΕΜΒΡΙΟΥ – Ἅγιος Ματθαῖος*

Σύσκηνος τῷ λόγῳ διατελῶν, θείων μυστηρίων, ἐμυήθης τὰς ἀστραπάς· ἔνθεν θεογράφως, Ἀπόστολε Ματθαῖε, ζωῆς διετυπώσω τὸ Εὐαγγέλιον.

*November 16 – St. Matthew*

Being a companion of Christ the Word, * you were introduced to the sublime mysteries of God. * O Apostle Matthew, then grace divine inspired you * to put down in writing the holy Gospel of life.

*Τῌ ΚΕ´ ΝΟΕΜΒΡΙΟΥ – Ἁγία Αἰκατερῖνα*

Νύμφη τοῦ Σωτῆρος πανευκλεής, αἴγλῃ παρθενίας, καὶ σοφίας τῇ καλλονῇ, καὶ μαρτύρων ἄθλοις, λαμπρῶς πεποικιλμένη, Αἰκατερίνα ὤφθης ὡς καλλιπάρθενος.

*November 25 – St. Catherine*

You, the famous bride of the Savior Christ, * shine with all the glory of virginity and the bright * beauty of your wisdom, O virgin martyr Catherine, * and celebrated victories of your martyrdom.

*ΤΗ͂ Λ΄ ΝΟΕΜΒΡΙΟΥ – Ἅγιος Ἀνδρέας*

Πρῶτος προσπελάσας τῷ Ἰησοῦ, πρωτόκλητος ὤφθης, καὶ ἀκρότης τῶν Μαθητῶν, Ἀνδρέα θεόπτα, ἐντεῦθεν διανύεις, παθῶν τὰς ἀναβάσεις τῆς Ἀναστάσεως.

*November 30 – St. Andrew*

You are named the first-called, for you were first * to approach the Savior, O St. Andrew, seer of God. * Principal Disciple, suffering for the Master, * you live the resurrection's ascents forevermore.

*ΤΗ͂ Δ΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ – Ἁγία Βαρβάρα*

Πατέρα λιποῦσα τὸν δυσσεβῆ, θυγάτηρ ἐδείχθης Βασιλέως τῶν Οὐρανῶν, ὑπὲρ οὗ προθύμως, ἀθλήσασα Βαρβάρα, λυτροῦσαι πάσης νόσου τοὺς προσιόντας σοι.

*December 4 – St. Barbara*

Leaving your impious father behind, * you became the daughter of the heavenly King of all, * for whom, O St. Barbara, you became a martyr. * And now you free from illness all those who pray to you.

*ΤΗ͂ Ϛ΄ ΔΕΚΕΜΒΡΙΟΥ – Ἅγιος Νικόλαος*

Ὀρφανῶν προστάτην σε καὶ χηρῶν, πεινώντων τροφέα, πενομένων τε πλουτιστήν, αἰχμαλώτων ρύστην, πλεόντων τε σωτῆρα, κεκτήμεθα παμμάκαρ, σοφὲ Νικόλαε.

*December 6 – St. Nicholas*

Protector of orphans are you, O Saint, * defender of widows, the provider for those in need, * the freer of captives, the rescuer of sailors * and travelers, all-blessed and wise father Nicholas.

*ΤΗ͂ ΙΒ΄ ΔΕΚΕΜΒΡΙΟΥ – Ἅγιος Σπυρίδων*

Χαίροις τῶν θαυμάτων ὁ ποταμός· χαίροις ἀσθενούντων, καὶ πασχόντων ὁ ἰατρός· χαίροις τῶν λογίων, τοῦ Πνεύματος ὁ σπόρος, Σπυρίδων Τριμυθοῦντος, ποιμὴν τρισόλβιε.

*December 12 – St. Spyridon*

River of divine miracles, rejoice! * We salute you, healer of the suffering and the sick. * Rejoice, holy shepherd, the sower of the Spirit's * divine words, O thrice-blessed father St. Spyridon!

*ΤΗ͂ ΙΕ΄ ΔΕΚΕΜΒΡΙΟΥ – Ἅγιος Ἐλευθέριος*

Τῆς ἐλευθερίας τῆς ἐν Χριστῷ, τοῖς δεδουλωμένοις, χρηματίσας μυσταγωγός, κληρονόμος ὤφθης, Σιὼν τῆς ἐλευθέρας, ἀθλήσας Ἐλευθέριε ὡς ἀσώματος.

*December 15 – St. Eleftherios*

By your sacred teachings, O Saint of God, * you led those in bondage to the freedom, which is in Christ. * You endured your contest as if you had no body, * O heir of the free Zion, St. Eleutherios.

*ΤΗ͂ ΙΖ΄ ΔΕΚΕΜΒΡΙΟΥ – Ἅγ. Διονύσιος Αἰγίνης*

Χαίροις τῆς Ζακύνθου γόνος λαμπρός, πρόεδρος Αἰγίνης καὶ Στροφάδων μέγας φρουρός· χαίροις Ἐκκλησίας, νέος φωστήρ τρισμάκαρ, Ἀρχιερέων δόξα, ὦ Διονύσιε.

*December 17 – St. Dionysios of Aegina*

O St. Dionysios, famous son * of Zakynthos, Archbishop of Aegina, O rejoice! * Protector of Strophada, the Church's luminary, * rejoice, blessed father, the glory of hierarchs!

*ΤΗ ΚΕ΄ ΔΕΚΕΜΒΡΙΟΥ – Γέννησις τοῦ Χριστοῦ*

Δόξα ἐν ὑψίστοις πάσα πνοή, ἐν χαρᾷ βοάτῳ, τῷ τεχθέντι ἐν Βηθλεέμ· ἐπὶ γῆς γὰρ ὤφθη, δωρούμενος εἰρήνην· τὴν τούτου προσκυνήσωμεν θείαν Γέννησιν.

*December 25 – Nativity of Christ*

Everything that breathes, come and sing with joy: * "Glory in the highest!" to the One born in Bethlehem. * He appeared on earth, to give peace to all of mankind. * Therefore let us honor His divine Nativity.

*ΤΗ ΚΖ΄ ΔΕΚΕΜΒΡΙΟΥ – Ἅγιος Στέφανος*

Πρῶτος Διακόνων ἀναδειχθείς, πρῶτος τοῦ Δεσπότου, ἐχρημάτισας μιμητής· ὅθεν Ἀθλοφόρων, πρωτεύων Πρωτομάρτυς, τύπος αὐτοῖς ἐγένου, πρώταθλε Στέφανε.

*December 27 – St. Stephen*

Stephen, of all Deacons you were the first, * and the first to imitate the Master when you were killed. * Therefore, Protomartyr, for all the future martyrs, * you have become the model for them to imitate.

*Ἁγία Ἀνάστασις*

Ὃν φρίττει καὶ τρέμει τὰ Χερουβείμ, καὶ δοξολογοῦσιν αἱ Δυνάμεις τῶν οὐρανῶν, τὸν ἐξαναστάντα τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην, φόβῳ δοξάσωμεν.

*Holy Resurrection*

Truly resurrected is Christ our God. * The Cherubim shudder as they tremble in awe of Him. * Hosts of heaven sing hymns of glory to extol Him. * Come let us glorify Him the risen Giver of life.

*Τρίτη τῆς Διακαινησίμου – Ἅγ. Ῥαφαήλ, Νικόλαος καὶ Εἰρήνη*

Πάντας τοὺς προστρέχοντας εὐλαβῶς, ὑμῶν τῇ πρεσβείᾳ, πάσης ρύσασθε συμφορᾶς, Ραφαήλ, Εἰρήνη, ὁμοῦ σὺν Νικολάῳ, τὴν τῶν πταισμάτων λύσιν, ἡμῖν αἰτούμενοι.

*Bright Tuesday – Sts. Raphael, Nicholas and Irene.*

Raphael and Nicholas and Irene, * deliver from every danger all those who reverently * seek refuge in you trusting in your intercession. * And pray the Lord to grant us forgiveness of our sins.

*Παρασκευὴ τῆς Διακαινησίμου – Ζωοδόχος Πηγή*

Ὕδωρ τὸ ζωήῤῥυτον τῆς Πηγῆς, μάννα τὸ προχέον τὸν ἀθάνατον δροσισμόν, τὸ νέκταρ τὸ θεῖον, τὴν ξένην ἀμβροσίαν, τὸ μέλι τὸ ἐκ πέτρας, πίστει τιμήσωμεν.

*Friday of Bright Week – Life-bearing Spring*

Let us sing in praise of that holy Spring. * It flows with the vivifying water, and it provides * immortal refreshment, sweet manna, divine nectar, * a wonderful ambrosia, like honey from the rock.

*Μεσοπεντηκοστή*

Μεσούσης ἐπέστης τῆς ἑορτῆς, Οἰκτίρμων διδάσκων, ἐν τῷ μέσῳ τοῦ Ἱεροῦ, δεῦτε οἱ διψῶντες, προσέλθετε καὶ ὕδωρ, ἐκ τῆς πηγῆς τῶν ὅλων, πάντες ἀρύσασθε.

*Mid-Pentecost*

When it was about middle of the feast, * You went to the Temple, O compassionate Lord and God. * You taught saying, "Come to me all you who are thirsty, * and draw the living water from Me the source of all."

*Ἀνάληψις*

Μετὰ τὴν Ἀνάστασιν ὁ Σωτήρ, ἐν σαρκὶ ἐπέστη, εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· ὅθεν μετὰ δόξης, εἰς οὐρανοὺς ἐπήρθη, ἵνα τῷ κόσμῳ πέμψῃ Πνεῦμα τὸ Ἅγιον.

*Ascension*

After He had risen, the Savior went * to the Mount of Olives in the flesh after forty days. * From there He ascended in glory to the heavens, * that He might send the Holy Spirit into the world.

*Κυριακὴ τῆς Πεντηκοστῆς – Ἁγία Τριάς*

Ὑμνήσωμεν πάντες θεοπρεπῶς, ᾄσμασιν ἐνθέοις, τὸν Πατέρα καὶ τὸν Υἱόν, καὶ Πνεῦμα τὸ θεῖον, τρισυπόστατον κράτος, τὴν μίαν Βασιλείαν, καὶ Κυριότητα.

*Pentecost Sunday – Holy Trinity*

Come and let us all sing inspired songs, * solemnly extolling as is proper to the divine * Father, Son, and all-holy Spirit, one dominion, * one kingdom, one in essence, three in hypostases.

*Ἅγιον Πνεῦμα*

Πνεῦμα τὸ πανάγιον καταβάν, ἐν πυρίναις γλώσσαις, Ἀποστόλους σοφοὺς ποιεῖ, φθεγγομένους ξένα, ἐν γλώσσαις ταῖς ἑτέραις, τὰ θεῖα μεγαλεῖα σοῦ τοῦ Θεοῦ ἡμῶν.

*Holy Spirit*

The all-holy Spirit in fiery tongues * came down on the Apostles of Christ, making them all wise. * They spoke in other tongues and proclaimed the strange teachings * about the mighty deeds of You our eternal God.

*Ἅγιοι Πάντες*

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

*All Saints*

Join the Theotokos, all you arrays * of angelic powers, honored Forerunner of the Lord, * holy Twelve Apostles * and all the Saints together, * and pray for our salvation, and intercede for us.